Ακαδημία Αθηνών / Academy of Athens

συμβαίνειν (συνών. *συνέρχεσθαι*) **1.** Συμβαίνει/συνέπεται, it comes together/it follows, Μέλισσος 8(3) *ὥστε συμβαίνει μήτε ὁρᾶν μήτε τὰ ὄντα γινώσκειν* **2.** Συνέρχομαι/σμίγω, come together/mate, Ἐμπεδοκλῆς 21.8 *ἐν δὲ Κότῳ διάμορφα καὶ ἄνδιχα πάντα πέλονται, σὺν δ' ἔβη ἐν Φιλότητι καὶ ἀλλήλοισι ποθεῖται* **3.** Συμβαίνει/γίνεται, it happens/it occurs, Ἀρχύτας 1.32-36-47 *ἔτι δὲ καὶ τοῦτο συμβαίνει ὥσπερ ἐπὶ βελῶν ... τωὐτὸ δὲ καὶ ταῖς φωναῖς συμβήσεται ... ἀλλὰ μὰν καὶ τοῖς ῥόμβοις τοῖς ἐν ταῖς τελεταῖς κινουμένοις τὸ αὐτὸ συμβαίνει· ἡσυχᾷ μὲν κινούμενοι βαρὺν ἀφιέντι ἆχον, ἰσχυρῶς δέ, ὀξύν.* || Δημόκριτος 191.13 *καὶ μηκέτι πλειόνων ἐπιθυμέοντι συμβαίνῃ κακοπαθεῖν τῇ ψυχῇ.*

συμβάλλεσθαι. Συμφωνῶ/συνομολογῶ, agree/admit, Ἡράκλειτος 47 *μὴ εἰκῇ περὶ τῶν μεγίστων συμβαλλώμεθα.*

σύμβολον 1. Σύμβολο/ἀλληγορικὸ παράγγελμα, symbol/allegorical precept, Πυθαγόρειοι C 6 (DK I 465,21) Ἀναξίμανδρος Ἀναξιμάνδρου Μιλήσιος ὁ νεώτερος ἱστορικὸς γέγονε δὲ κατὰ τοὺς Ἀρταξέρξου χρόνους τοῦ Μνήμονος κληθέντος· ἔγραψε *Συμβόλων Πυθαγορείων ἐξήγησιν* **2.** Σημεῖο/προμήνυμα, sign/omen, Ἀναξαγόρας 19 *Ἶριν δὲ καλέομεν τὸ ἐν τῇσιν νεφέλῃσιν ἀντιλάμπον τῷ ἡλίῳ. χειμῶνος οὖν ἐστι σύμβολον.* Πρβλ. *σῆμα, σημεῖον.*

σύμμεικτος. Σύμμεικτος, miscellaneous, Δημόκριτος 11i (τίτλ.) *Αἰτίαι σύμμεικτοι.*

συμμένειν. Συμπαραμένω, stay together, Λεύκιππος A 1 (DK II 71,4-8) τὰ δὲ λοιπὰ (sc. σώματα) *συμμένειν* καὶ περιπλεκόμενα συγκατατρέχειν ἀλλήλοις καὶ ποιεῖν πρῶτόν τι σύστημα σφαιροειδὲς ... καὶ οὕτω γενέσθαι τὴν γῆν, *συμμενόντων* τῶν ἐνεχθέντων ἐπὶ τὸ μέσον A 14 (DK II 75,29) τὰς δὲ (sc. ἀτόμους) περιπλέκεσθαι ἀλλήλαις κατὰ τὴν τῶν σχημάτων καὶ μεγεθῶν καὶ θέσεων καὶ τάξεων συμμετρίαν καὶ *συμμένειν* καὶ οὕτως τὴν τῶν συνθέτων γένεσιν ἀποτελεῖσθαι Δημόκριτος A 37 (DK II 93,33-37) τοῦ δὲ *συμμένειν* τὰς οὐσίας μετ'

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ